UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

Caput XX. De statua Augustae, & de concione Ioannis: & de Synodo quae rursus contra illum congregata est, deque ejus depositione.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

τὰ ἐν τῇ δρυῒ πεπραγμένα, καὶ αὐτὸν ἔχειν τὴν ἐπισκοπὴν ψηφισαμένων, διετέλεσεν ἱερώμενος, καὶ χειροτονῶν, καὶ τ' ἄλλα περὶ τὴν ἐκκλησίαν ἣ θέμις τοῖς προεστῶσι, διέπων· ἡνίκα καὶ Σαραπίωνα τὸν ἐν Θρᾴκῃ Ἡρακλείας ἐπίσκοπον κατέστησεν.

A Constantinopolim convenissent, statutumque ab illis esset, ut ea quæ apud Quercum gesta fuerant irrita essent, utque Joannes Episcopatum retineret: ille deinceps missarum solennia celebrare, ordinationes facere, & alia in Ecclesia disponere, prout sacerdotibus jus fasque est, perseveravit. Quo quidem tempore etiam Serapionem Heracleæ in Thracia Episcopum constituit.

B

## Κεφ. κ΄.

Περὶ τοῦ ἀνδριάντος τῆς βασιλίδος· καὶ περὶ τῆς Ἰωάννου διδασκαλίας, καὶ τῆς κατ' αὐτοῦ πάλιν ἀθροισθείσης συνόδου, καὶ καθαιρέσεως.

ΟΥ πολλῷ δὲ ὕστερον, ἀνδριάντος ἀργυροῦ τῆς τοῦ βασιλέως γαμετῆς ἐπὶ πορφυροῦ κίονος ἀνατεθέντος, ὃς καὶ νῦν ἐστὶ πρὸς μεσημβρίαν τῆς ἐκκλησίας, πρὸ τοῦ οἴκου τῆς μεγάλης βουλῆς ἐφ' ὑψηλοῦ βήματος, κρότοι τε καὶ δημώδεις θέαι ὀρχηστῶν τε καὶ μίμων ἐνθάδε ἐπετελοῦντο, ὡς ἔθος ἦν τότε ἐπὶ τῇ ἀνακλήσει τῶν βασιλικῶν εἰκόνων· ἐφ' ὕβρει δὲ τῆς ἐκκλησίας τάδε γενέσθαι, ἐν ὁμιλίᾳ πρὸς τὸν λαὸν ὁ Ἰωάννης διέβαλεν· ἡ δὲ βασιλὶς, ἔτι προσφάτου οὔσης τῆς μνήμης τῶν προτέρων λυπηρῶν, ὡς ὑβρισμένη πάλιν ἐμπίπλαται θυμοῦ, καὶ σύνοδον αὖθις ἐπιτελεῖσθαι ἐσπούδαζεν· ὁ δὲ, οὐκ ἐνεδίδου· ἀλλ' ἔτι σαφέστερον ἔσω ἐκκλησίας λοιδορῶν αὐτὴν, ἐξέκαυσε πρὸς ὀργήν· ἡνίκα δὴ τὸν ἀοίδιμον ἐκεῖνον διεξῆλθε λόγον, ἀρξάμενος ὧδε, πάλιν Ἡρωδιὰς μαίνεται, πάλιν ὀρχεῖται, πάλιν Ἰωάννου τὴν κεφαλὴν ἐπὶ πίνακος σπουδάζει λαβεῖν· οὐκ εἰς μακρὰν δὲ ἄλλοι τε ἐπίσκοποι παρεγένοντο, καὶ Λεόντιος ὁ Ἀγκύρας, καὶ Ἀκάκιος ὁ Βεῤῥοίας· ἐπιγενομένης δὲ τῆς γενεθλίου ἡμέρας τοῦ Χριστοῦ, ὁ μὲν βασιλεὺς, ὡς εἰώθει, εἰς τὴν ἐκκλησίαν οὐκ ἦλθεν· ἐδήλωσε δὲ Ἰωάννῃ, μὴ κοινωνεῖν αὐτῷ πρὶν ἀνεύθυνος φανῇ τῶν ἐγκλημάτων· ἐπεὶ δὲ προθύμως ἀπολογεῖσθαι ἔφη, οἱ κατήγοροι δείσαντες ἐπεξιέναι τοῖς ἐγκλήμασιν οὐκ ἐθάῤῥουν· ἔδοξε δὲ τοῖς δικασταῖς, μὴ δέον εἰς δευτέραν χωρεῖν

## CAPUT XX.

*De statua Augustæ, & de concione Joannis: & de Synodo quæ rursus contra illum congregata est, deque ejus depositione.*

HAud multo post, cùm argentea Imperatricis statua purpureæ columnæ imposita dedicaretur, quę etiamnum cernitur ad meridianam Ecclesiæ plagam, ante Ædem magni Senatus, super excelso tribunali collocata; plausus illic, & saltatorum ac mimorum publica spectacula edebantur, sicuti tunc C mos erat in dedicatione Imperialium imaginum. Hæc Joannes ad contumeliam Ecclesiæ gesta esse, in sermone ad populum criminatus est. Imperatrix vero, cum recens adhuc esset memoria offensarum præteriti temporis, quasi injuriam passa, denuo excanduit: deditque operam ut alia rursus Synodus congregaretur. Joannes tamen haudquaquam cessit: sed adhuc apertius eam in Ecclesia vituperans, ad iram excitavit. Quo quidem tempore celebrem illam orationem habuit, hunc in mo- D dum exorsus. Rursus Herodias furit: rursum saltat: rursum Joannis caput in disco gestit accipere. Elapso deinde brevi temporis spatio, tum alii Episcopi, tum Leontius Ancyræ & Acacius Berœæ, Constantinopolim advenerunt. Cumque Natalis Christi dies jam adesset, Imperator more solito ad Ecclesiam non processit: sed Joanni per internuntios significavit, se non communicaturum cum illo, priusquam de objectis criminibus satisfaciens, innocentiam suam approbasset. Cum vero Joannes respondisset, paratum se esse ad causam dicendam, accusatores ejus metu perculsi, accusationem prosequi non sunt ausi. Judicibus vero visum est, eum qui quomodocunq; depositus

fuiſſet, ad ſecundum judicium admitti non debere. Ac de aliis quidem criminibus nullam quæſtionem habuerunt: de hoc autem uno Joannem reſpondere jubebant, quod depoſitus, antequam Synodus ei licentiam dediſſet, in Epiſcopali ſolio conſediſſet. Cumque ille ſuffragia eorum proferret qui poſt priorem Synodum cum ipſo communicaverant, judices eam defenſionem minime admiſerunt, eo quod plures fuiſſent, qui ipſum condemnaverant; & ſacerdotalis Canon id diſerte prohiberet. Sed eum depoſuerunt, conſtanter aſſeverantem, illum eſſe Canonem hæreticorum. Nam cum Ariani concinnatis adverſus Athanaſium calumniis, Alexandrinam Eccleſiam ei ademiſſent, mutationem temporum formidantes, eam regulam condiderunt: ſtudioſe videlicet caventes, ut ea quæ adverſus illum machinati fuerant, indiſcuſſa remanerent.

A χειρῶν τὸν ὁπωσοῦν καθαιρεθέντα· καὶ τῶν μὲν ἄλλων οὐδὲν ἐξήταζον· πρὸς τοῦτο δὲ μόνον ἀπολογεῖσθαι τὸν ἰωάννην ἀπῄτουν, ὅτι καθαιρεθεὶς, πρὶν ἐπιτρέψαι σύνοδον, εἰς τὸν ἐπισκοπικὸν ἐκάθισε θρόνον· τοῦ δὲ τὴν ψῆφον τῶν κεκοινωνηκότων αὐτῷ μετὰ τὴν προτέραν σύνοδον προϊσχομένου, ὡς πλειόνων αὐτοῦ καταψηφισαμένων, καὶ διὰ τοῦτο ἱερατικοῦ κανόνος ἀπαγορεύοντος, οὐ προσίεντο τὴν ἀπολογίαν· ἀλλὰ καθεῖλον αὐτὸν, ἑτεροδόξων ἐνιστάμενοι τοῦτον εἶναι νό- B μον· ἐπεὶ γὰρ οἱ ἀπὸ τῆς ἀρείου αἱρέσεως συκοφαντήσαντες ἀθανάσιον ἀφείλοντο τὴν ἀλεξανδρέων ἐκκλησίαν, δέει τῆς τῶν πραγμάτων μεταβολῆς, τάδε ἐνομοθέτησαν· ἀνεξέταστα μένειν τὰ ἐπ' αὐτῷ βεβουλευμένα σπουδάζοντες.

## Caput XXI.

*Quanta mala populo acciderint, poſt expulſum Ioannem: & de inſidiis per ſicarios ei ſtructis.*

## Κεφ. κα'.

Ὅσα κακὰ συνέβη ἐπὶ τῇ ἐκβολῇ ἰωάννου τῷ πλήθει, καὶ περὶ τῆς κατ' αὐτοῦ διὰ ξίφους ἐπιβουλῆς.

PORRO Joannes ſententia Epiſcoporum depoſitus, ad Eccleſiam amplius non proceſſit: ſed in Epiſcopali domo quietus manebat. Exeunte autem Quadrageſima, in ipſa ſacra nocte in qua anniverſaria feſtivitas in memoriam reſurrectionis dominicæ celebratur, fautores Joannis pelluntur ex Eccleſia, militibus & quibuſdam Joannis inimicis, in eos Baptiſmi ſacramenta adhuc peragentes, impetum facientibus. Quæ res cum præter exſpectationem accidiſſet, ingens tumultus in baptiſterio exortus eſt: mulieribus ejulantibus ac turbatis; pueris plorantibus; ſacerdotibus vero ac Diaconis vapulantibus, & in eo quo erant cultu atq; ornatu, violenter fugatis. Cætera quę in ejuſmodi perturbatione eveniſſe veriſimile eſt, fideles quidem non ignorant: ego vero de induſtria ſilentio præteribo, ne quis forte nondum initiatus, ea hic legat conſcripta. Reliqua autem populi multitudo, cum inſidias intellexiſſet, poſtridie relictâ Eccleſiâ, in publico lavacro admodum ſpatioſo quod Imperatoris Conſtantii nomine nuncupatur, Paſcha celebrarunt,

C Ὁ δὲ ἰωάννης καθαιρεθεὶς, οὐκέτι ἐκκλησίαζεν· ἀλλ' ἐν τῷ ἐπισκοπικῷ καταγωγίῳ ἠρέμει· ἤδη δὲ ληγούσης τῆς τεσσαρακοστῆς, κατ' αὐτὴν τὴν ἱερὰν νύκτα, ἐν ᾗ ἡ ἐτήσιος ἑορτὴ ἐπὶ ἀναμνήσει τῆς ἀναστάσεως τοῦ χριστοῦ ἐπιτελεῖται, ἐξωθέντες τῆς ἐκκλησίας οἱ τὰ αὐτοῦ φρονοῦντες, ἐπιθεμένων αὐτοῖς ἔτι μυσταγωγοῦσι στρατιωτῶν, καὶ τῶν αὐτοῦ δυσμενῶν· ἀπροόπτου δὲ τούτου συμβάντος, πολὺς περὶ τὸ βαπτιστήριον ἐγένετο θόρυβος, γυναικῶν μὲν μετ' οἰμωγῆς τα- D ραττομένων· παιδίων δὲ κλαιόντων· ἱερέων δὲ καὶ διακόνων τυπτομένων τε, καὶ πρὸς βίαν ὡς εἶχον σχήματος ἐλαυνομένων· τ' ἄλλα δὲ οἷα εἰκὸς ἦν γενέσθαι ἐν ἀταξίᾳ τοσαύτῃ, οἱ μυηθέντες οὐκ ἀγνοοῦσιν· ἐγὼ δὲ ἀναγκαίως σιγήσομαι, μὴ, καὶ ἀμύητός τις ἐντύχῃ τῇ γραφῇ· αἰσθόμενοι δὲ καὶ τὸ λοιπὸν πλῆθος τὴν ἐπιβουλὴν, τῇ ὑστεραίᾳ καταλιπόντες τὴν ἐκκλησίαν, ἐν δημοσίῳ λουτρῷ πολυχωρήτῳ μάλα, κωνσταντίου τοῦ βασιλέως ἐπωνύμῳ, τὸ πάσχα ἐπετέλεσαν,

ὑπὸ

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN